**02 IANUARIE/19 IULIE**
**+CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI**

# PARACLISUL SF.CUVIOS SERAFIM DE LA SAROV

**PARACLISIERUL PE IANUARIE-GR**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΣΙΣ

# ΟΣΙΟΥ ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΣΑΡΩΦ

Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη

*Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τὸ Θεὸς Κύριος καὶ τὰ κάτωθι Τροπάρια.*

*Ἦχος δ᾽. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς τῶν Ὁσίων μιμητὴν θεοφόρον, καὶ τῶν Ἀγγέλων κοινωνὸν στεφηφόρον, οἱ εὐσεβεῖς ὑμνοῦμέν σε, παμμάκαρ Σεραφείμ, καὶ πιστῶς προστρέχοντες, τῇ θερμῇ σου πρεσβείᾳ, συντριβῇ καρδίας σοι, ἀνακράζομεν πάντες· τῷ ἐν Τριάδι πρέσβευε Θεῷ, τοῦ ἐλεῆσαι ἡμᾶς ὡς φιλάνθρωπος.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύ-νων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν᾽ καὶ ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Τοῦ Σάρωφ πολίτης ὁ θαυμαστός, Θεοῦ ὡς τῷ Θρόνῳ, παριστάμενος εὐκλεῶς, μνημόνευε Πάτερ τῶν τελούντων, ἐν ἐγκωμίοις ἀξίως τὴν μνήμην σου.

Ἐν τοῖς οὐρανίοις χοροβατῶν, ἐπόπτευε Πάτερ, παμμακάριστε Σεραφείμ, τοὺς προσπίπτοντάς σοι ἐκ καρδίας, καὶ εὐφημοῦντας τὸν ἔνθεον βίον σου.

Τοὺς ἀνακειμένους πανευλαβῶς, τῇ σῇ προστασίᾳ, ἐκ παντοίας ῥῦσαι ὀργῆς, Πάτερ Σεραφεὶμ ὁ ἐν τῷ Σάρωφ, ἀγγελικῶς ἐκτελέσας τὸν βίον σου.

*Θεοτοκίον.*

Κατάρδευσον ῥείθροις τοῖς μυστικοῖς, Δέσποινα Μαρία, τῶν ἁγίων Σου οἰκτιρμῶν, εἰς κόρον ψυχάς τε καὶ καρδίας, τῶν προσκυνούντων τὸν ἄχραντον τόκον Σου.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Φωτισμῷ τῷ ἀδύτῳ, καταυγασθεὶς Ὅσιε, τῆς φωτοειδοῦς βιοτῆς σου, τοῖς προτερήμασιν, ἡμᾶς καθεύδοντας, ἐν τῶν παθῶν τῇ σκοτίᾳ, φώτισον πρεσβείας σου, τοῖς ἀπαυγάσμασι.

Τὰ ἐν κόσμῳ μισήσας, δι᾽ ἀρετῆς γέγονας, σκεῦος Σεραφείμ πανευῶδες, ὤφθης τῆς χάριτος· ὅθεν χαρίτωσον, ὡς συμπαθὴς τὰς καρδίας σου, τῶν ἀνευφημούντων σε, ὅλης ἐκ πίστεως.

Ὡς ζωῆς κληρονόμος, τῷ θαυμαστῷ βίῳ σου, δίδου τῆς ζωῆς μοι τὰ ἔργα, ἀεὶ ἐργάζεσθαι, ἵνα τῆς κρείττονος, ἀξιωθῶ εὐφροσύνης, ὁ πιστὸς ἱκέτης σου, Σεραφεὶμ Ὅσιε.

*Θεοτοκίον.*

Ὑπερύμνητε Μῆτερ, ὑπὲρ ἡμῶν πρέσβευε, τῷ ἐνανθρωπήσαντι Λόγῳ, ἐκ τῶν αἱμάτων σου, ὡς ἄν ῥυώμεθα, πάσης ἐν βίῳ ἀνάγκης, οἱ ὑμνολογοῦντές σε, ὡς Θεομήτορα.

Διάσωσον ἀπὸ κινδύνων καὶ πάσης κακοπραγίας, τοὺς τῇ σεπτῇ σου πρεσβείᾳ προστρέχοντας, ὦ Σεραφεὶμ ὁ τοῦ Σάρωφ θεῖος πολίτης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β’. Πρεσβεία θερμή.*

Χριστῷ τῷ Θεῷ, ἀκολουθήσας Ὅσιε, ὡς πλήρης αὐτοῦ, τοῦ ἔρωτος γενόμενος, ὑπὲρ φύσιν

ἤσκησας, καὶ μεγίστης ἠξίωσαι χάριτος· διὸ ἡμῖν χορήγει Σεραφείμ, εἰρήνης τὴν χάριν ταῖς πρεσβείαις σου.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὁ ἀσκήσας ὡς ἄσαρκος, καὶ τὸν πολυμήχανον τροπωσάμενος, τῶν αὐτοῦ παγίδων λύτρωσαι, Σεραφεὶμ παμμάκαρ τοὺς ἱκέτας σου.

Μετανοίας ὑπάνοιξον, Σεραφείμ μοι εἴσοδον τῇ πρεσβείᾳ σου, ἵνα εὕρω τὴν συγχώρησιν, τῶν παραπτωμάτων ὁ πανάθλιος.

Ὡς πατὴρ στοργικώτατος, Σεραφεὶμ μακάριε ἀναπτέρωσον, πρὸς ἀγάπην τὴν οὐράνιον, τὰς ψυχὰς τῶν πόθῳ εὐφημούντων σε.

*Θεοτοκίον.*

Ῥῦσαι Ἄχραντε Δέσποινα, ἐκ τῶν ἐπιθέσεων τοῦ ἀλάστορος, τοὺς πιστῶς ἐξαιτουμένους Σε, βοηθὸν ἐν βίῳ καὶ ὑπέρμαχον.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἄνωθεν ἡμῖν, τὴν βοήθειάν σου πάρεχε, Σεραφεὶμ τοῖς εὐφημοῦσί σε πιστῶς, ὡς ἀστέρα τῆς ἀσκήσεως ἀείφωτον.

Σὺ τῶν μοναστῶν, ποιμὴν ὤφθης καὶ διδάσκαλος· ἀλλὰ ποίμανον οὖν Πάτερ Σεραφείμ, καὶ ἡμᾶς τῇ βακτηρίᾳ τῆς σῆς χάριτος.

Φάνηθι ἡμῖν, βοηθὸς καὶ ῥύστης ἕτοιμος, ἐν ἐφόδοις πειρασμῶν πολυειδῶν, Σεραφεὶμ τῶν μοναζόντων ἐγκαλλώπισμα.

*Θεοτοκίον.*

Ἴασαι Ἁγνή, τῆς ψυχῆς μου τὴν ἀσθένειαν· τῶν ἀνθρώπων γὰρ τὸν μέγα ἰατρόν, ἐξ αἱμάτων σου ἁγίων ἀπεκύησας.

*Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.*

Θαυμάτων τὰς δωρεὰς δεξάμενος, ὡς βιώσας ἐν τῷ Σάρωφ ὁσίως, τὰς τῆς ψυχῆς μου θεράπευσον νόσους, καὶ τῆς ἀθλίας σαρκός μου τὰ τραύματα, ἴασαι Πάτερ Σεραφείμ, μοναζόντων σεβάσμιον καύχημα.

Χρηστότητος Σεραφεὶμ θεόληπτε, καὶ ἐλέους ποταμὸς ἀνεδείχθης· τῷ γὰρ Θεῷ ἐν ἀγάπῃ καὶ φόβῳ, καὶ τῷ πλησίον καλῶς ἐθεράπευσας· ὅθεν κατάρδευσον κἀμοῦ, τὴν ψυχὴν ξηρανθεῖσαν τοῖς πάθεσι.

Λαμπόμενος ἐν Ἐδὲμ μακάριε, τῇ ἀκτίστῳ φωταυγείᾳ τῆς δόξης, ὡς ἀσκητὴς τοῦ Χριστοῦ θεοφόρος, καὶ ἀρετῶν ἐκμαγεῖον οὐράνιον,

διάλυσόν μου τῆς ψυχῆς, Σεραφεὶμ ἱκετεύω τὴν νέφωσιν.

*Θεοτοκίον.*

Λαμπρότατον τοῦ Θεοῦ ἀνάκτορον, ἀναδέδειξαι Παρθένε Μαρία, τῆς Παναγίας Τριάδος τὸν ἕνα, δίχα τροπῆς καὶ φυρμοῦ σωματώσασα. Ὅθεν τῆς δόξης σου φωτί, τὴν ἀθλίαν ψυχήν μου καταύγασον.

Διάσωσον ἀπὸ κινδύνων καὶ πάσης κακοπραγίας, τοὺς τῇ σεπτῇ σου πρεσβείᾳ προστρέχοντας, ὦ Σεραφεὶμ ὁ τοῦ Σάρωφ θεῖος πολίτης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β’. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς κοινωνήσας τῆς θείας λαμπρότητος, καὶ τῆς ἀφράστου τρυφήσας φαιδρότητος, μὴ παύσῃ ἡμῖν ἐξαιτούμενος, ὦ Σεραφεὶμ μοναζόντων ἀγλάϊσμα, τὸ φῶς τοῦ Κυρίου τῆς χάριτος,

*Προκείμενον. Ἦχος δ’.*

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

*Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

*Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. ια’ 27-30).*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου… Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Προσόμοιον. Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.*

Ὅλην ἀποθέμενος, τὴν κοσμικὴν πραγματείαν, ὑπὲρ φύσιν ἤσκησας, ἐν τῷ Σάρωφ Ὅσιε, ὡς θεόσοφος, καὶ τοῖς ἀγῶσί σου, τῆς σαρκὸς τὰ πάθη, ἀποκτείνας τελεώτατα, σκεῦος τῆς χάριτος, ὤφθης Σεραφεὶμ ἱερώτατον, καὶ γέγονεν ὁ βίος σου, πάσης ἀρετῆς ἐξεικόνισμα. Ὅθεν σε τιμῶμεν, δεόμενοι πρεσβείαις σου εὑρεῖν, ἁμαρτημάτων τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

*Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀναβλύζων ἰάσεις, Σεραφείμ Παρακλήτου, τῇ ὑπὲρ νοῦν δωρεᾷ, θεράπευσον τὰς νόσους, ψυχῶν τε καὶ σωμάτων, ἐν τῶν πίστει βοώντων σοι· Χαῖρε κανὼν μοναστῶν, καὶ κλέος τῶν Ὁσίων.

Συστροφῆς καὶ μανίας, Σεραφεὶμ θεομάκαρ, τοῦ ἀρχεκάκου ἐχθροῦ, συντήρει ἀνωτέρους, τοὺς ἐπιβοωμένους, τὴν θερμήν σου βοήθειαν· σὺ γὰρ ἀσκήσει αὐτοῦ, κατέῤῥαξας τὸ θράσος.

Ἱλαρῷ ὄμματί σου, ἴδε Πάτερ ὑψόθεν, ὡς συμπαθὴς ἐφ᾽ ἡμᾶς, τοὺς ἐπικαλουμένους, προστάτην σε ἐν πάσαις, Σεραφεὶμ περιστάσεσι, χαρὰν παρέχων ἡμῖν, καὶ ἄνεσιν παμμάκαρ.

*Θεοτοκίο.*

Λυπηρῶν ἀνηκέστων, τῶν ἐν βίῳ συντήρει, ἀπαρατρώτους Ἁγνή, καὶ πλήρωσον ἀῤῥήτου,

χαρᾶς καὶ εὐφροσύνης, τοὺς ἐν πίστει βοῶντάς σοι· Χαῖρε Παρθένε σεμνή, τοῦ κόσμου προστασία.

*Ὠδὴ η'. Τὸν Βασιλέα.*

Τῆς Βασιλείας, ἀξίωσόν με τῆς ἄνω, θεοδέκτοις σου πρεσβείαις πρὸς τὸν Κτίστην, Σεραφεὶμ παμμάκαρ, τοῦ Σάρωφ ὁ πολίτης.

Ἔχομεν Πάτερ, τὴν κραταιάν σου πρεσβείαν, καταφύγιον ἐν βίου ταῖς ἀνάγκας· διὸ Σεραφείμ σε, πιστῶς ἀνευφημοῦμεν.

Σῶσόν με Πάτερ, τὸν εὐλαβῶς σε καλοῦντα, ἀντιλήπτορα καὶ σύμμαχον ἐν πᾶσι· σὺ γὰρ παῤῥησίαν, πρὸς τὸν Δεσπότην ἔχεις.

*Θεοτοκίον.*

Ὅρμον Παρθένε, ἐν πειρασμῶν τῷ πελάγει, τῆς πρεσβείας σου εὑράμενοι τὴν χάριν, μακαρίζομέν σε, ὡς μόνην Θεοτόκον.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Μετέχων τῆς ἀφράστου, Πάτερ εὐφροσύνης, ἐκ τῆς καρδίας ἡμῶν ἀποδίωξον, ὢ Σεραφεὶμ πᾶσαν λύπην, ὡς συμπαθέστατος.

Κακίστης ἐπηρείας, τῆς ἐξ ἁμαρτίας, ῥῦσαι ἡμᾶς Σεραφεὶμ τοὺς ἱκέτας σου, ἵνα ᾠδὴν ᾄδομέν σοι, εὐχαριστήριον.

Ὡς ἔχων παῤῥησίαν, Σεραφεὶμ παμμάκαρ, ἀντιλαβοῦ τῆς θερμῆς παρακλήσεως, τῶν ἱκετῶν σου βραβεύων, αὐτοῖς τὰ κρείττονα.

*Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, ἡ τὸν Θεὸν ἀπειράνδρως κυήσασα, αὐτὸν δυσώπει σωθῆναι, τοὺς ὑμνολόγους σου.

*Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.*

Χαίροις παμμακάριστε Σεραφείμ, ὁ καλῶς ἐκ βρέφους, ἐξασκήσας τὴν ἀρετήν· χαίροις ὁ ἐν Σάρωφ, ὡς Ἄγγελος βιώσας, καὶ ἔχων μετ᾽ Ἀγγέλων, νῦν τὸ πολίτευμα.

Ὅλος παιδιόθεν ἀνατεθείς, Χριστῷ τῷ Σωτῆρι, παμμακάριστε Σεραφείμ, αὐτῷ τῇ ἀσκήσει, πιστῶς συνεσταυρώθης· διὸ ζωῆς μετέσχες, τῆς ὑπὲρ ἔννοιαν.

Ἔρωτι τῷ θείῳ ὡς πτερωθείς, ἐν Σάρωφ μετῆλθες, τῶν Ὁσίων τὴν βιοτήν, μεθ᾽ ὧν νῦν ἐν πόλῳ, τὴν κοινωνίαν ἔχων, ὦ Σεραφεὶμ παμμάκαρ, ἡμῶν μνημόνευε.

Οἶκον Παρακλήτου ἀσκητικῶς, Σεραφεὶμ παμμάκαρ, ἀπετέλεσας σεαυτόν· διὸ πλήρωσόν με, αὐτοῦ τῆς ἐνεργείας, ὡς ἄν ἀξίως μέλπω, τὰς ἀριστείας σου.

Χαίροις τῶν Ὁσίων ὁ μιμητής, καὶ τῆς ἐγκρατείας, ὁ θεόπνους ὑφηγητής· χαίροις ἀπαθείας, εὐώδης μυροθήκη, ὢ Σεραφεὶμ παμμάκαρ, Ὁσίων καύχημα.

Πρέσβυν σε πλουτοῦντες πρὸς τὸν Θεόν, Σεραφεὶμ παμμάκαρ, ἐκβοῶμέν σοι εὐλαβῶς· Χαῖρε ὁ Κυρίου, τὰ λόγια πληρώσας, ὡς πλήρης τῆς ἀγάπης, αὐτοῦ γενόμενος.

Δέχου τὰς δεήσεις ὡς εὐμενής, Σεραφεὶμ παμμάκαρ, τῶν ἀθλίων σου ἱκετῶν, τὴν θείαν σου χάριν, αὐτοῖς ἀντιπαρέχων, καὶ σῴζων ἀπὸ πάσης, αὐτοὺς κακώσεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια ἤ τὸ κάτωθι Ἀπολυτίκιον.*

*Ἦχος α’. Τῆς ἐρήμου πολίτης.*

Τὸν τοῦ Σάρωφ πολίτην, Σεραφεὶμ τὸν θαυμάσιον, τὸν φερωνυμίᾳ ἐν κόσμῳ, δι᾽ ἀσκήσεως λάμψαντα, τιμήσωμεν ἐν ὕμνοις εὐλαβῶς, κηρύττοντες αὐτοῦ τὰς ἀρετάς· πρυτανεύει γὰρ τῆς χάριτος δωρεάς, τοῖς πόθῳ αὐτῷ κράζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε πιστοῖς, μέγιστον πρόμαχον.

*Εἶτα· Ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ Ἀπόλυσις μεθ᾽ ἥν ψάλλομεν τὰ κάτωθι τροπάρια*

*Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε αἱ χορεῖαι τῶν πιστῶν, ἐν ἀγαλλιάσει καρδίας, τὸν ἀσκητὴν τοῦ Χριστοῦ, Σεραφεὶμ ὑμνήσωμεν, τὸν ἀγγελότροπον, τὸν τοῦ Σάρωφ κοσμήτορα, χαρίτων τὸ σκεῦος, Πνεύματος τὸ ὄργανον, αὐτῷ κραυγάζοντες· Σκέπε ἐν παντὶ ταῖς εὐχαῖς σου, τοὺς πανευλαβῶς προσφωνοῦντας, τὴν ἁγίαν κλῆσιν σου μακάριε.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

*Δίστιχον.*

*Κυρίλλῳ αἴτει Σεραφεὶμ θεομάκαρ,*

*παραπτωμάτων ἱκεσίαις σου λύσιν.*

